eul_wid: grm-ac

*Ἤριννα ἡ Τηλία* · Erinna of Telos

# Epigrams

*Ἐπιγράμματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δωρική* Doric (frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 352.1.1 Ἐξ ἀταλᾶν χειρῶν τάδε γράμματα· λῷστε Προμαθεῦ,
book 352.1.2 ἔντι καὶ ἄνθρωποι τὶν ὁμαλοὶ σοφίαν·
book 352.1.3 ταύταν γοῦν ἐτύμως τὰν παρθένον ὅστις ἔγραψεν,
book 352.1.4 αἰ καὐδὰν ποτέθηκ’, ἦς κ’ Ἀγαθαρχὶς ὅλα.
book 710.1.1 Στᾶλαι καὶ Σειρῆνες ἐμαὶ καὶ πένθιμε κρωσσέ,
book 710.1.2 ὅστις ἔχεις Ἀίδα τὰν ὀλίγαν σποδιάν,
book 710.1.3 τοῖς ἐμὸν ἐρχομένοισι παρ’ ἠρίον εἴπατε χαίρειν,
book 710.1.4 αἴτ’ ἀστοὶ τελέθωντ’ αἴθ’ ἑτεροπτόλιες·
book 710.5.1 χὤτι με νύμφαν εὖσαν ἔχει τάφος, εἴπατε καὶ τό·
book 710.5.2 χὤτι πατήρ μ’ ἐκάλει Βαυκίδα, χὤτι γένος
book 710.5.3 Τηλία, ὡς εἰδῶντι· καὶ ὅττι μοι ἁ συνεταιρὶς
book 710.5.4 Ἤρινν’ ἐν τύμβῳ γράμμ’ ἐχάραξε τόδε.
book 712.1.1 Νύμφας Βαυκίδος εἰμί· πολυκλαύταν δὲ παρέρπων
book 712.1.2 στάλαν τῷ κατὰ γᾶς τοῦτο λέγοις Ἀίδᾳ·
book 712.1.3 „Βάσκανός ἐσς’, Ἀίδα.“ τὰ δέ τοι καλὰ σάμαθ’ ὁρῶντι
book 712 ὠμοτάταν Βαυκοῦς ἀγγελέοντι τύχαν,
book 712.5.1 ὡς τὰν παῖδ’, ὑμέναιος ἐφ’ αἷς ἀείδετο πεύκαις,
book 712.5.2 ταῖσδ’ ἐπὶ καδεστὰς ἔφλεγε πυρκαϊᾷ·
book 712.5.3 καὶ σὺ μέν, ὦ Ὑμέναιε, γάμων μολπαῖον ἀοιδὰν
book 712 ἐς θρήνων γοερὸν φθέγμα μεθαρμόσαο.